TEZAUR LITURGIC

3 MAI

# SLUJBA SF.MUCENICI TIMOTEI ŞI MAVRA DE LA THEBAIDA EGIPTULUI

ATENA,2015


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 03 ΜΑΙΟΥ
# ΤΙΜΟΘΕΟΥ & ΜΑΥΡΑΣ ΜΑΡΤΥΡΩΝ
# ΑΚΟΛΟΥΘΙΑ

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τό, Κύριε, ἐκέκραξα, ψάλλομεν Στιχηρὰ Προσόμοια τῶν Ἁγίων στ΄. Στιχηρὰ τῶν Ἁγίων. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Τὸ ζεῦγος τὸ ἅγιον Χριστοῦ, ξυνωρὶς ἡ ἔνθεος, τὸ τῶν Μαρτύρων καλλώπισμα, μέγιστοι Μάρτυρες, οἱ τὴν θείαν ζεύγλην, ἐν βασάνοις στέρξαντες, καὶ μάστιγας τυράννων μὴ πτήξαντες· καὶ νῦν πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Μορφῇ ἀστραπτούσῃ ὢ σεμνή, Μαύρα παμμακάριστε, καὶ τῷ φωτὶ τῆς σῆς χάριτος, ὄψεις ἠμαύρωσας, τοῦ δεινοῦ τυράννου, καὶ σπασμοῖς τριχῶν τῶν σῶν, Θεῷ ἀναφανδὸν προσωμίλησας· ἐντεῦθεν ἔφλεξας, τῶν λεβήτων ἐν τοῖς βράσμασι, τοῦ Βελίαρ τὴν κάραν τὴν ἄδικον.

Ἰσχύι Τιμόθεε ψυχῆς, καὶ καρδίας ὅλης σου, Θεὸν τιμῶν τὸν ὑπέρτιμον, πυρὶ φλεγόμενος, καὶ τοῖς ὀβελίσκοις, εἴληφας φωνῆς Θεοῦ, καρδίας ἐν ὠσὶ τὴν τερπνότητα· καὶ ἐν κρεμάσματι, ἀντιστρόφῳ πρὸς οὐράνιον, δρόμον τρέχων, τὸ στέφος εἰσδέδεξαι.

Ἕτερα. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Γηθοσύνως φιλέορτοι, ἑορτάσωμεν σήμερον, μνήμην τὴν πανίερον καὶ πανένδοξον· τῶν Ἀθλοφόρων κραυγάζοντες, ἀήττητοι Μάρτυρες, διασώσατε ἡμᾶς· ἀπὸ πάσης κακώσεως, Μαῦρα ἔνδοξε, σὺν συνάθλῳ τῷ θείῳ Τιμοθέῳ, καὶ εὐκλείας συμμετόχους, τῆς οὐρανίου ποιήσατε.

Τῶν Μαρτύρων τὸ καύχημα, Ἐκκλησίας τὸ στήριγμα, τῶν πιστῶν κραταίωμα, καὶ διάσωσμα, τοὺς Ἀθλοφόρους ὑμνήσωμεν, φιλέορτοι σήμερον· ῥωμαλαίως γὰρ αὐτοὶ τὸν Βελίαρ κατήσχυναν, καὶ ἐκήρυξαν· τὸν Χριστὸν Βασιλέα τῶν ἁπάντων, ὅς ἀθλήσεως τῷ στέφει, λαμπρῶς αὐτοὺς κατεστέψατο.

Ἐν Σταυρῷ ἐτανήθυσαν, οἱ ὁπλῖται γηθόμενοι, πάθος τὸ σωτήριον εἰκονίζοντες, ἐν ᾧ τὸ τέλος τὸ Ἅγιον, λαβόντες ἀπέπτησαν, πρὸς Θεὸν περιχαρῶς. Εἰς Ἁγίων σκηνώματα, εἰς τὰ ἄῤῥητα, καὶ ἀνέκφραστα κάλλη Παραδείσου, ἔνθα τάξεις τῶν Ἀγγέλων, καὶ τῶν Μαρτύρων τὰ τάγματα.

Δόξα. Ἦχος πλ. β'.

Δεῦτε πιστῶν ὁ σύλλογος σήμερον, ὕμνοις ἐνθέοις, τοὺς γενναίους ἀθλητὰς, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν καταστέψωμεν· Τιμόθεον τὸν ἀήττητον ἀριστέα, σὺν τῇ θείᾳ συνάθλῳ Μαύρᾳ τῇ στεῤῥᾷ, καὶ ἐνδόξω Μεγαλομάρτυρι, καὶ πιστῶς ἐγκωμιάσωμεν λέγοντες: Χαῖρε ξυνωρὶς ἁγία καὶ ᾀεισέβαστος, ἡ τὴν πλάνην τῶν αἰσχίστων εἰδώλων εὐθαρσῶς καθυβρίσασα, καὶ Χριστὸν τὸν Θεὸν ἐνώπιον τῶν τυράννων λαμπρῶς ἀνακηρύξασασα. Χαῖροις Δυὰς ἱερωτάτη, καὶ

χαριτώνυμος, ἡ τῇ Τρισηλίῳ Θεότητι ἔργῳ τεκαὶ λόγῳ λατρεύσασα, καὶ θανεῖν δι᾽ Αὐτὴν αἱρετίσασα. Χαίρετε Ἀθληταὶ μεγαλώνυμοι οἱ ἐν ποικίλαις βασάνοις, καὶ σταυρικῇ προσηλώσει τὰ σώματα παραδιδόντες διὰ Τὸν ὑπὲρ ἡμῶν σταυρωθῆναι καταδεξάμενον. Ὅν μὴ παύετε πρεσβεύειν ἀδιαλείπτως, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων τὴν πανένδοξον μνήμην ὑμῶν.
Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἴσοδος, τό, Φῶς ἱλαρόν, Τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Προφητείαις Ἡσαΐου τὸ Ἀνάγνωσμα.[Κεφ. 43, 9-14)
Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τὶς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τὶς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν. Καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγὼ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ' ἀρχῆς ἐγὼ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τὶς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. 3, 1-9)
Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι. Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας, οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ.5,15-23&6,1-3)
Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα,

δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας, πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε, μάθετε, δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

ΛΙΤΗ. Ἦχος α΄.

Τῷ ἔρωτι τῆς τοῦ Χριστοῦ ἀγάπης, πρωθέντες οἱ πανεύφημοι, πᾶσαν τὴν τοῦ προσκαίρου βίου χλυδήν κατεφρόνησαν· καὶ τὰ πάθη Αὐτοῦ ζηλώσαντες, ἐν Σταυρῷ ὡς Αὐτὸς δι' Αὐτὸν ἐτανύθησαν· καὶ ἐξ Αὐτοῦ εἰς οὐρανὸν ἀναβάντες, καὶ τῷ ἀμαραντίνῳ στέφει στεφανωθέντος ἐκ χειρὸς τῆς πανακελστάτης, πρεσβεύουσιν ὑπὲρ ἡμῶν Τιμόθεος ὁ ἱερόνικος, καὶ Μαῦρα ἡ παναοίδιμος.

Τῷ τῆς ἀθλήσεως αἵματι καταφαιδρύναντες ἑαυτοὺς οἱ γενναῖοι Μάρτυρες, ῥωμαλαίως κατὰ τῆς πλάνης

ἀντέστησαν ψυχῆς καρτερότητι, καὶ νοὸς τῇ εὐθύτητι. Πυρὶ δὲ καὶ βασάνοις ἐγκαρτερήσαντες, εἰς νυμφῶνα οὐράνιον Χριστὸς εἰσηγάγετο μετὰ αὔλων λειτουργῶν, ἀϊδίως ἀγαλλόμενοι.

Τίς οὐ θαυμάσειε τὴν ὄντως ὑπεράνθρωπον καρτερίαν Μαύρας ἐνδόξου τε καὶ ἀηττήτου Μεγαλομάρτυρος; Ῥωθεῖσα δὲ αὕτη Σταυροῦ τῇ θείᾳ δυνάμει, θαρσαλέως δριμυτάταις βασάνοις, καὶ ἀνηκέστοις αἰκίαις ἐνεκαρτέρησεν. Ὢ τοῦ θαύματος φύσις ἄσθενὴς, καὶ ἀπτόητος, κατήσχυνε τὸν ἀόρατον δράκοντα, τὸν τὴν Εὔαν τὸ πάλαι πτερνίσαντα. Καὶ ὡς πύργος ἀῤῥαγὴς τῇ φορᾷ τῶν βασάνων ἀσάλευτος μείνασα, τρυφᾷ τῆν τοῦ ἀμηχάνου κάλλους, Μαῦρα ἡ ἀοίδιμος.

Δόξα. Ἦχος πλ. δ΄.

Τῇ ἀθλητικῇ πανηγύρει τῶν ἐνδόξων Ἀθλοφόρων στῖφος πιστῶν συνδράμωμεν σήμερον ὕμνοις ἐνθέοις, τὸν Σωτῆρα δοξάζοντες, Τὸν σεπτῶς δοξάσαντα Μαῦρα τὴν ἀήττητον Μάρτυρα, καὶ σὺ αὐτῇ, Τιμόθεον τὸν γενναίον ἐν μάρτυσιν· οἵ καὶ πρεσβεύουσιν ἀεννάως ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν μετὰ πόθου, καὶ πίστεως ἑορταζόντων, τὴν πανένδοξον μνήμην αὐτῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Εἰς τὸν Στίχον. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Χαῖρε ὦ πανσέβαστε δυὰς, χαίροις ξυνωρίς ἡ ἁγία καὶ ᾀεισέβαστος, χαίρετε πανένδοξοι Κυρίου Μάρτυρες, οἱ στεῤῥῶς ἀμαυρώσαντες, εἰδώλων τὴν πλάνην, καὶ

ταῦτην ἐκσβέσαντες, ἰδίοις αἵμασιν. Ὅθεν καὶ λαμπροὺς τοὺς στεφάνους, παρὰ τοῦ Σωτῆρος ὦ Μαῦρα, σὺν τῷ Τιμοθέῳ ἐκομίσασθε.
Στ.: Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.
Ξύλου ὁ γεννάρχης τῆς Ἐδὲμ, βρώσει βασκανίᾳ Βελίαρ γέγονεν ἄποικος· αὖθις ὁ Σωτὴρ ἡμῶν διὰ τοῦ ξύλου Αὐτὸν, εἰς Παράδεισον ἤγαγε, διὸ καὶ ἡ Μαῦρα τανυθεῖσα ἅμα τε τῷ Τιμοθέῳ Σταυρῷ, ἤρθη εἰς τὸ ὕψος τοῦ θείου, ξύλου ἐντρυφῶσαν ἡδέως, τοῦ τὴν ἁμαρτίαν ἐξαλείψαντος.
Στ.: Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αυτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.
Βίβλους ἀγαγεῖν τὰς ἱερὰς, αἷς χριστιανοὺς ἐνουθέτεις τοῦ πυρπολήσαι αὐτὰς, προστάξας ὁ τύραννος τούτῳ ἀντέφησας, ὡς οὐδεὶς παρέδωκεν αὑτοὺς τοὺς ἰδίους, ἑκὼν πρὸς τὸν θάνατον, ὅθεν Τιμόθεε· ἅμα τῇ πανσέπτῳ συνάθλῳ Μαύρᾳ τῷ Σταυρῷ προσπηγνύει, ἐν ᾧσπερ τὸ τέλος ἐκομίσασθε.
Δόξα. Ἦχος πλ. δ'.
Ἀστράπτουσα φωτὶ τῆς ἀσεβείας, Μαῦρα πανένδοξε ὄψεις μὲν τυράννου ἠμαύρωσας, τῶν δὲ πιστῶν τὰς καρδίας ἐλάμπρυνας, καὶ τῷ αἵματι τῆς ἀθλήσεως, τὰς εἰδωλικὰς σπονδάς ἐξήρανας· ὑψωθεῖσα δὲ τῷ Σταυρῷ διὰ τὸν ἐν Ξύλῳ ὑπὲρ ἡμῶν προσηλωθέντα Κύριον, τὰς οὐρανίους μονὰς, εἰς κατοίκησιν ἐκληρῶσο ἀοίδιμε· πρέσβευε οὖν δεόμεθα ὑπὲρ τῆς πίστεως ἑορταζόντων τὴν πανέορτον μνήμην σου, Μαῦρα πανσεβάσμιε.
Καὶ νῦν. Τῆς ἑορτῆς.

Ἀπολυτίκιον. Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.
Δεῦτε πάντων φιλεόρτων συστήματα, ὕμνοις τὴν σεπτὴ ξυνωρίδα ἐγκωμιάσωμεν, Τιμόθεον τὸν μέγαν ἀθλητὴν, καὶ Μαῦραν Μαρτύρων καλλονήν, ὡς τὴν πλάνην τῶν εἰδώλων εὐθαρσῶς ἀποσείσαντες. Δόξα τῷ ἐνισχύσαντι ἡμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ ἐνεργούντι δι᾽ ὑμῶν, πᾶσιν ἰάματα.
Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.
Τιμόθεον σήμερον σὺν τῇ συνάθλῳ πιστοί, συζύγῳ τιμήσωμεν, Μαύρᾳ τῇ νύμφῃ Χριστοῦ, τὴν τούτων γεραίροντες, εὔτολμον καρτερίαν. Οὗτοι γὰρ σταυρωθέντες, ἴχνεσι τοῦ σφαγέντος, ἠκολούθησαν πόθῳ, καὶ πάντων τὰς ἁμαρτίας, Σταυρῷ προσηλώσαντος.
Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε. Γερασίμου.
Ὡς ζεῦγος ὁμόζυγον, καὶ ξυνωρὶς θαυμαστή, Τιμόθεε πάνσοφε, καὶ Μαύρα νύμφη Χριστοῦ, ἐνθέως ἠθλήσατε· σύμμορφοι γὰρ ὀφθέντες, τῶν παθῶν τοῦ Κυρίου, δόξης ἀκαταλύτου, ἠξιώθητε ἄμφω, πρεσβεύοντες τῷ Σωτῆρι, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.
Καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν, κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτὴρ.
Μαρτύρων ἱερῶν, ξυνωρίδα συμφώνως· ὑμνήσωμεν πιστοὶ, Τιμοθέου καὶ Μαύρας, Τριάδα γὰρ ἄκτιστον,

τῶν τυράννων ἐνώπιον, ανεκήρυξαν, καὶ τῶν εἰδώλων τὴν πλάνην, κατηφάδισαν, θεολογοῦντες ἀξίως, δογμάτων τὰ ἔνθεα.
Δόξα.
Δεσπότην τὸν Χριστὸν, ὡς λαμπρῶς ἐν σταδίῳ, κηρύξαντες σοφοὶ, ὁρατῶν ἀοράτων, ὑπήνεγκαν στεῤῥότατα, αἰκισμούς τε καὶ μάστιγας, δυναμούμενοι, ἐπιστασία τῇ θείᾳ, ἐξ ἧς ἔλαβον, νικητικά τε βραβεῖα, καὶ δόξης τὸν στέφανον.
Καὶ νῦν. Τῆς ἑόρτῆς.

Μετὰ τὴν β΄ στιχολογία, κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσὴφ.
Τῶν τυράννων αἰκισμοὺς, ὑπέμειναν καρτερικῶς, οἱ γενναῖοι Ἀθληταὶ, ξέσεις τοῦ σώματος δεινὰς, καὶ τοῦ πυρὸς τὴν κατάφλεξιν καὶ ἀναρτήσεις, Τιμόθεος σαφῶς ὁ μεγαλώνυμος, καὶ Μαῦρα ἡ στεῤῥὰ καὶ ἀξιέραστος· καὶ σὺ Ἀγγέλοις σήμερον ἐνδόξως ἡ ξυνωρὶς ἡ ἀοίδιμος, εὐφραινομένη, Χριστῷ πρεσβεύει, εἰς τὸ σωθῆναι ἡμᾶς.
Δόξα.
Τοὺς Ἀθλοφόρους τοῦ Χριστοῦ, ἀνευφημήσωμεν φαιδρῶς, τῶν φιλεόρτων ὁ ἐσμὸς, ὡς τῶν εἰδώλων ἀληθῶς, ὁλοθρευτάς τε γενναίους, καὶ καθαρέτας· Τιμόθεον σεπτὸν, καὶ Μαῦραν πάντιμον, τοὺς ὄντως λατρευτὰς Θεοῦ Παντάνακτος· ᾧ ἐκτενῶς πρεσβεύουσιν ἑκάστοτε, ὑπὲρ ἡμῶν τῶν ὑμνούντων πιστῶς, τὴν ἱεράν τε, καὶ φωτοφόρον, θείαν αὐτῶν

πανήγυριν.
Καὶ νῦν. Τῆς ἑορτῆς.

Μετὰ τὸν πολυέλεον, κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.
Τῇ ἐκχύσει τοῦ αἵματος ἡ σεπτὴ, τοῦ Βελίαρ ἀπέπνιξε διαμπάξ, πλάνη, καὶ ἀπέσπασε τῶν ἀνόμων ἀσέβειαν, λαμπρυνομένη δόξης, φωτὶ Τρισηλίῳ τε, καὶ φραττομένῃ ὅπλῳ, Σταυροῦ κοσμοσώτηρος. Ὅθεν τῇ ἀγήρῳ, καὶ ἀΐδιον δόξαν, ἀξίως ἀπέλαβες ἐκ Θεοῦ Παντοκράτορος, Μαῦρα Μάρτυς ἀήττητε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν πανέορτον μνήμην σου.
Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Προκείμενον. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.
Στίχ.: Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...
Εὐαγγέλιον μαρτυρικὸν.
Δόξα. Ταῖς τῶν Ἀθλοφόρων πρεσβείαις...
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...
Στίχ.: Ἐλέησον με, ὁ Θεός... Καὶ τὸ Ἰδιόμελον. Ἦχος πλ. β΄.
Σήμερον ἅπασα ἡ ὑφήλιος, ταῖς τῶν Ἀθλοφόρων αὐγάζεται ἀκτῖσι, καὶ ἡ σεπτὴ Ἐκκλησία ὡραϊζομένη τοῖς θαύμασιν ὑμῶν, βοᾷ ὑμῖν χαρμοσύνως: Θεράποντες Χριστοῦ γνησιώτατοι, καὶ προστάται πιστῶν θερμότατοι, Τιμόθεε παναοίδιμε, καὶ Μαῦρα ἀεισέβαστε, μὴ παύσητε πρεσβεύειν ὑπὲρ εἰρήνης τοῦ

κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Ὁ Κανὼν τῆς ἑορτῆς καὶ τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς: Τιμοθέου Μαύρας τε τοὺς πόνους σέβω. Ἰωσήφ.

Ἦχος α´. Ὠδὴ α´. Ὡς ἐν ἠπείρῳ πεζεύσας.
Τῶν ἱερῶν ἀθλοφόρων τὴν ἱεράν, καὶ σεπτὴν πανήγυριν, ὁ λαὸς ὁ ἱερός, ἱερῶς τιμήσωμεν αὐτῶν, ταῖς δεήσεσι δεινῶν ὅπως ῥυσθείημεν.
Ἱερονίκους στεφάνους παρὰ Χριστοῦ, εἰληφέναι σπεύδοντες, τὸ θανεῖν ὑπὲρ τὸ ζῆν, οἱ γενναῖοι Μάρτυρες σαφῶς, ᾑρετίσαντο· διὸ δόξης ἐπέτυχον.
Μὴ δειλιάσαντες πόνους τοὺς τῆς σαρκός, μὴ κολάσεις πτήξαντες, μὴ τὸ πῦρ τῶν διωκτῶν, ἀθλοφόροι Μάρτυρες Χριστόν, ἐν σταδίῳ ἀνδρικῶς ἀνεκηρύξατε.
Θεοτοκίον.
Ὁ ὑπερούσιος Λόγος οὐσιωθείς, ἐξ ἁγνῶν αἱμάτων σου, ἐθεούργησεν ἡμᾶς, καὶ φθορᾶς ἐῤῥύσατο Ἁγνή· διὰ τοῦτό σε πιστῶς ἀεὶ δοξάζομεν.

Ἕτερος. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.
Ποθῶν ὑμνήσαι, τὴν σεπτὴν πανήγυριν τῶν ἱερῶν Ἀθλητῶν, δυσωπῶ Σε Λόγε, λόγον μοι χορήγησον, ὡς λόγον πέλων πρύτανις· Τιμοθέου πρεσβείαις τοῦ Σοῦ θεράποντος Κύριε, Μαύρας τε πανσέπτου, καὶ Μάρτυρος.
Φωνὴν τὴν θείαν ξυνωρὶς πανθαύμαστος, ἐνωτισθεῖσα

στεῤῥῶς, ταῖς βασάνοις, τὴν ψυχὴν παρέδωκας ἀποθανεῖν ἵνα αὐτὴν, σῶσῃς ἀϊδίως, καὶ συναγάλλῃ τοῖ Μάρτυσι· ὕπερ σκοποῦ τυχοῦσα, ἱκέτευε ἀπαύστως, ὑπὲρ τῶν πίστει ἀνυμνούντων σε.

Καταυγασθέντες ἀστραπαῖς τοῦ Πνεύματος ἀστέρες ὤφθητε, νοητοῦ ἡλίου, πλάνην ἀμαυρώσαντες ὑμῶν τοῖς σελαγίσμασι Μαῦρα Μάρτυς Κυρίου, καὶ Ἀθλοφόρε Τιμόθεε· Διὸ λαμπροὺς στεφάνους, ἐτύκετε.

Ῥώμῃ τῇ θείᾳ ὥς ῥωσθεῖσα ἤμβλυνας ζόφον εἰδώλων στεῤῥῶς, καὶ τῶν ἀνομούντων, τῆν ὀφρὺν ἐλέγξασα, τὴν τοῦτων ἀθεότητα, ἐξεφαύλισας Μαῦρα Χριστὸν, τοῦς πάντας κηρύττουσα, εἶναι τοῦ παντὸς τὸν κοσμήτορα.

Οὐ δεινοτάτων αἰκισμῶν ἐπίτασις Μαῦρα ἀοίδιμε, τροχῶν οὐκ ἐκτάσεις, οὐ λεβήτων βράσματα ψυχήν σου ἀδαμάντινον· ἀπεσείσαντο ὅλως τῆς θεϊκῆς ἀγαπήσεως, ὅθεν νῦν οἰκεῖς τὰ οὐράνια.

Θεοτοκίον.

Χριστὸς Ἀνέστη. Γηθοσύνως σήμερον πανηγυρίσωμεν, καὶ γὰρ κατεβλήθη, τοῦ Σατᾶν ἡ δύναμις, Σταυρῷ τῷ τοῦ Κυρίου μου· τῇ Αὐτοῦ δὲ ἐργέσει εἴγηρε κόσμον τοῦ πτώματος, δόξα Σοι Θεὲ Τρισυπόστατε.

ᾨδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Θεοῦ τὰς βίβλους τῷ λαῷ, ἱερῶς ὑπανοίγων, καὶ φωτίζων καρδίας, στρατιῶτα τοῦ Χριστοῦ, Τιμόθεε τῷ σεπτῷ, μαρτυρίῳ, χαίρων ἐπιβέβηκας.

Ἐνθέῳ πόθῳ τὴν ψυχήν, πυρπολούμενος Μάρτυς, τῷ πυρὶ τῶν βασάνων, προσωμίλεις καρτερῶς· διό σε ἡ τοῦ Χριστοῦ, θεία δρόσος, μάκαρ ἐπανέψυχεν.
Ὁ νοῦς σου νεύσει πρὸς Θεόν, λαμπρυνόμενος Μάρτυς, οὐκ ᾐσθάνετο ὅλως, τῶν σιδήρων τὰς δεινάς, προσψαύσεις διὰ πυρός, γινομένας, ἔνδοξε Τιμόθεε.
Θεοτοκίον.
Ὑπάρχων φύσει ἀπαθής, ὁ Υἱός σου Παρθένε, προσελάβετο σάρκα, ἐξ αἱμάτων σου ἁγνῶν, καὶ διὰ πάθους Σταυροῦ, τῶν παθῶν με, ἄχραντε ἐῤῥύσατο.

Ἕτερος. Οὐρανίας ἁψίδος.
Τοὺς γενναίους ὁπλίτας μελωδικῶς σήμερον, στῖφος ἀθροισθὲν φιλεόρτων πανηγυρίσωμεν, κράζοντες: Πρόφθασον σὺν Τιμοθέῳ ὦ Μαῦρα, πάσης περιστάσεως ἡμᾶς λυτρούμενοι.
Ἀσεβείας τὴν πλάν ην καταβαλὼν Ἅγιε, τὰ ὀστᾶ συνέτριψας ταύτης, ἀνδρειότᾶτῳ φρονί· καὶ δὲ σταυρούμενος οὐδεὶς ἐβόα χωρίσει, ἀγάπης Κυρίου θεῖε Τιμόθεε.
Ταῖς θωπείαις τυράννου, καὶ δωρεαῖς πάνσεπτοι, χαίρειν προσειπόντες, ἐπεί περ, θρησκεία ὕπαιθρος πέφυκε· κρείττων δὴ, πολυτελοῦς ἀσεβείας, ὅθεν καὶ ὁ Κύριος λαμπρῶς ἐστέψατο.
Ἐν μορφῇ ἀστραπτούσῃ λάμψασα σκάμματι, Μαῦρα τοῦ τυράννου τὰς ὄψεις, ἄρδην ἠμαύρωσας· κἄραν δὲ ἔθλασας, τοῦ ἀρχεκάκου εὐτόνως· τοῦ δεινῶς προμήτορα πάλαι πτερνίσαντος.

Τὸν Χριστὸν ἐν σταδίῳ μεγαλουργὸν ἄνακτα, καθομολογήσασα Μαῦρα δεινῶς αἰκίζεται· καὶ νίκης τρόπαια, ὡς ἀνυψώσασα στέφος, ἐκ Θεοῦ ἀπείληφε, τὸ τῆς Ἀθλήσεως.
Θεοτοκίον.
Αἱ προῤῥήσεις τῶν θείων ὑποφητῶν ἔλαβον, πέρας ἐπὶ Σοὶ Παναγία, Θεὸν δὲ ἔτεκες, διπλοῦν ταῖς φύσεσι, καῖ ἐνεργείαις μιᾷ δὲ, ὑποφάσει πέλοντα, ὄντως Θεάνθρωπον.

Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.
Τιμήσαντες Θεόν, ἀπημαύρωσαν πλάνην, Τιμόθεος σαφῶς, καὶ ἡ ἔνδοξος Μαύρα· καὶ πᾶσαν ὑπομείναντες, οἱ πανένδοξοι βάσανον, ἐλαμπρύνθησαν, ὑπὲρ ἀκτῖνας ἡλίου, καὶ γεγόνασι, συλλειτουργοὶ τῶν Ἀγγέλων· οὓς πίστει δοξάσωμεν.
Δόξα.
Δυάδα Ἀθλητῶν, ἀνυμνήσωμεν πόθῳ, Χριστὸν δὲ ἐκτενῶς, δυσωπεῖ τοῦ ρυσθῆναι, κολάσεως ἅπαντας, τοὺς πιστῶς ἑορτάζοντας, τῆν πανένδοξον μνήμην αὐτῶν οἷς συμφώνως ἐκβοήσωμεν, Μαῦρα σὺν θείῳ συνάθλῳ, ἡμᾶς διασώσατε.
Καὶ νῦν. Τῆς Ἑορτῆς.

ᾨδὴ δ΄. Χριστός μου δύναμις.
Μεγίστην εὔκλειαν, ἐπιποθήσαντες ἠξιώθητε ταύτης, τέκνα φωτός, θείου χρηματίσαντες, Μεγαλομάρτυρες Χριστοῦ, τῶν Ἀγγέλων ἰσοστάσιοι.

Ἁγίων τάγμασι, συναριθμούμενος, καὶ εὐήκοα ὦτα πρὸς θεϊκούς, νόμους ἔχων ἔνδοξε, τὰς διατρήσεις σταθερῶς, ἐκαρτέρησας Τιμόθεε.
Ὑψοῦντες ξύλῳ σε, οἱ ματαιόφρονες, προσβαρύνουσι λίθῳ τὴν κεφαλήν, ἔνδοξε Τιμόθεε, ἀλλ᾽ ἐδυνάμου σε Χριστός, θείῳ πάθει σεμνυνόμενον.
Ῥεόντων ἄστατον, φορὰν μακάριοι, ἐβδελύξασθε ὄντως, καὶ ἑαυτούς, πόνοις ἐξεδώκατε, τὰ δι᾽ αἰῶνος ἀγαθά, διὰ τούτων κληρωσάμενοι.
Θεοτοκίον.
Ἁγνείας σκήνωμα, κατοικητήριον, τοῦ Δεσπότου τῶν ὅλων, καὶ Προφητῶν, πάντων περιήχημα, θεοχαρίτωτε ναέ, τοὺς ὑμνοῦντάς σε οἰκτείρησον.

Ἕτερος. Σύ μου ἰσχὺς Κύριε.
Βίβλους σεπτὰς ἅς ὁ παράφρων, ᾐτήσατο, πυρπολῆσαι, Μάρτυς οὐκ ἀπέδωκας, ἀλλὰ ἀντέφθης· νεανικῶς, ὡς οὐδεὶς μερόπων τοὺς ἰδίους παρέδωκεν· ἑκὼν ὅθεν μὴ φέρων, Ἀριανὸς σὸν θάρσος, Σταυρῷ σὺν Μαύρᾳ προσηλώσατο.
Ὡς νουνεχὴς τὰς παραινέσεις συνεύνου σου, ἠκροᾶσο Μάρτυς παναοίδιμε, καὶ τῷ Σταυρῷ τῷ ζωοποιῷ· ἐνδυναμωθεῖσα, τῷ Σατανᾷ κατεπάλαισας· καὶ ᾖρας Μαῦρα νίκης, τὸ τρόπαιον ὑμνοῦσα, Χριστὸν τὸν οὕτω σὲ κρατύνοντα.
Ὅπου εἰσὶ, δύω ἢ τρεῖς ἅμα φησὶν, ὁ Δεσπότης τῷ Αὐτοῦ ὀνόματι, εἶναι Αὐτὸν μέσῳ αὐτῶν, ὅθεν τῇ συνάθλῳ, Τιμόθεε ἱερώτατε, συμφώνω ς τὸν Βελίαρ,

αἰσχύνοντες γενναίως, δόξης ἀῤῥήτου ἀπειλήφατε.
Χαῖρε σεμνὴ, Μαῦρα Μαρτύρων τὸ ἔρεισμα, ἡ τὴν πλάνην, πᾶσαν ἐδαφίσασα ὁμολογίᾳ τῇ εἰς Χριστὸν, καὶ τῇ καρτερίᾳ τιμωριῶν ἡ συνθλάσασα τοῦ ὄφεως τὴν κάραν, τοῦ δόλῳ τε τὴν Εὔαν, πάλαι ἀθλίως ἀπατήσαντος.
Ὅπου Θεὸς στέργεται τὰ δυσχερῆ, εὐχερῆ, χρηματίζει καὶ δὲ ἡ ἀήττητος φύσεως πέλουσα ἀσθενοῦς, καὶ ὡς ἀπτοήτου τυράννου θράσος κατέβαλε. Τῷ ἔρωτι τρωθεῖσα, Χριστοῦ τοῦ Βασιλεώς, οὗ τῆς εὐκλείας ἐκληρώσατο.
Θεοτοκίον.
Κλίμαξ σαφῶς τὴν Ἰακὼβ προεώρακε, πέλεις Κόρη, ἐν Σοὶ δὲ ὁ Κύριος, ἀψοφήτε ἐκ τῶν οὐρανῶν, κατέβη ἀῤῥήτως, καὶ διὰ Σοῦ πάντας ὕψωσεν· οὐράνιον εἰς ὕψος, ὢ θείας εὐσπλαγχνίας, Χαῖρε οὖν κόσμου τὸ προσφύγιον.

ᾨδὴ ε΄. Τῷ θείῳ φέγγει σου ἀγαθέ.
Συζύγου Μαύρα φωτοειδεῖς, λόγους ἠκροάσω εὐμενῶς, καὶ τὴν ζοφώδη κακόνοιαν, ἀποῤῥιψαμένη, φῶς ἐχρημάτισας, διὰ τοῦ μαρτυρίου θεομακάριστε.
Τῷ θείῳ Πνεύματι σεαυτήν, Μαύρα θωρακίσασα σεμνή, πρὸς συμπλοκὴν τοῦ ἀλάστορος, χαίρουσα ἐξῆλθες, καὶ τοῦτον ἔτρεψας, καὶ νίκης τοὺς στεφάνους Μάρτυς ἀπείληφας.
Ἕνα σε Κύριον Ἰησοῦν, καθομολογοῦσα ἡ σεμνή, χειρὶ τὸν ἄνθρωπον πλάσαντα, τέμνεται δακτύλους

χειρὸς τὴν ἄδικον, ἀνδρείως τιμωρίαν καθυποφέρουσα.
Θεοτοκίον.
Τὴν καταιγίδα τῶν λογισμῶν, τὰς ἐπαναστάσεις τῶν παθῶν, τῶν πειρασμῶν τὸ κλυδώνιον, κόπασον Παρθένε θεοχαρίτωτε, καὶ σῶσόν με ὑμνοῦντα τὰ μεγαλεῖά σου.

Ἕτερος. Ἵνα τὶ μὲ ἀπώσω.
Σῷ τραχήλῳ τρισμάκαρ, οἱ τοῦ σκότους προασπίσαι προσεπέδησαν· βαρύτατον λίθον, καὶ τροχῳ μεταρσίως αἱρόμενοι, σοῖς ὠτίοις ὤθουν πυρακτουμένους ὀβελίσκους, οἵ τὰς κόρας βαβαὶ κατεξώρυξαν.
Τῶν Ἁγίων Ἀγγέλων, αἱ δυνάμεις ὁρῶσαι θάμβει συνείχοντο, τῶν ὑμῶν ἀνδρεῖαν, ὡς δὲ λιθοι ἀδάμαντες ὤφθητε ἀῤῥαγεὶς αἰκίαις, διὸ δὴ ἄγαν χαρμοσύνως, σὰς ψυχὰς τῷ Κυρίῳ προσήγαγον.
Τὴν σελήνη ἀπείργειν, τὴς ἀκτῖνος ἡλίου ἡ ἀντίφραξις γῆς, σὲ δὲ Μαῦρα πλάνης, ἡ ὁμίχλη οὐδόλως ἠμαύρωσεν· ἀλλὰ γενναιόφρων στεῤῥῶς ἐβόα τῷ τυράννῳ, Χριστὸν μου σέβῳ, καὶ δι’ Αὐτὸν σφαγιάζομαι.
Τὸν Χριστὸν ὁλοψύχως, ὢ δυᾶς ἱερὰ ὄντως ποθήσασα, πλείστοις τοῖς βασάνοις, σώματα στεῤῥῶς παρεδώκατε· ὡς ὁπλῖται θεῖοι, ὡς ὀπαδοὶ Αὐτοῦ, καὶ δόξης, συγκληρονόμοι, καὶ συμμέτοχοι.
Οὐ θωπεῖαι τυράννου, οὐ δεινῶν αἰκισμῶν Μαῦρα

ἐπίτασις, οὐ δ’ αὐτοῦ θανάτου ἡ σκληρὰ μάστιξ ὅλως τε ἴσχυσε· τῆς Χριστοῦ ἀγάπης, χωρίσει σε ὦ Ἀθληφόρε, ὅθεν Σταυρῷ δεινῶς ὡμιλήσας.
Θεοτοκίον.
Ὁ προφήτης ἑώρα, ὑπερκείμενον ὄρος Σὲ ὦ Μητρόθεε, ἐξ οὗ καὶ ἐτμήθη, λίθος ὑπὲρ φύσιν, καὶ ἔθλασε· πλάνην τῶν εἰδώλων, πηγάσας κόσμῳ σωτηρίαν· Χαῖρε οὖν Θεοτόκε Παντάνασσα.

ᾨδὴ στ΄. Τοῦ βίου τὴν θάλασσαν.
Οἱ ἅγιοι Μάρτυρες, τῷ ἱστίῳ τοῦ Σταυροῦ, πνευματικῶς πτερούμενοι, τῶν πειρασμῶν τὸ πέλαγος ἀβλαβῶς, ἐν πίστει παρέδραμον, καὶ πρὸς θείους λιμένας ἀνεπαύσαντο.
Ὑφάψαντες λέβητα, ἐν αὐτῷ σε τὸν Χριστόν, ὁμολογοῦσαν ῥίπτουσιν, οἱ δυσσεβεῖς· ἀλλ᾽ ἔμεινας ἀβλαβής, τὴν δρόσον τοῦ Πνεύματος, εὑραμένη σε Μαύρα ἀναψύχουσαν.
Στρεβλούμενοι Μάρτυρες, πάσας στρέβλας τοῦ ἐχθροῦ, ἀνδρείως διελύσατε, καὶ τῇ ἀγάπῃ τέλεον τοῦ Χριστοῦ, ψυχὰς συνεδήσατε, τῆς σαρκὸς ἀποθέσει παναοίδιμοι.
Θεοτοκίον.
Πανάγαθε Δέσποινα, τὸν πανάγαθον Θεόν, ἡ ἐν σαρκὶ κυήσασα, κεκακωμένην πάθεσι τὴν ἐμήν, καρδίαν ἀγάθυνον, ἵνα πίστει καὶ πόθῳ μεγαλύνω σε.

Ἕτερος. Ἱλάσθητί μοι Σωτήρ.
Ἐν διαυγίᾳ φαιδρᾷ, ἥλιος ὤφθης ἀείφωτον, θαυμάτων μαρμαρυγαῖς, στίλβουσα ὑφήλιον, δυὰς χαριτώνυμε. Μαῦρα γενναιόφρων, καὶ πανσέβαστε Τιμόθεε.
Τὰ ὄργια τῶν ἐθνῶν, κατέβαλες γενναιότατα, καὶ Ποιητὴν τοῦ παντὸς, Χριστὸν ἀνεκήρυξας, πρὸς Ὃν ἀνεπέτασας σταυρωθεῖσα Μαῦρα, ἀγαλλομένη σὺν τοῖς Μάρτυσι.
Τὰς ἄρσεις ἐπὶ τροχοῦ, καὶ τῶν λεβήτων τὰ βράσματα, ὑπέφερες σταθερῶς, Μαῦρα παναοίδιμε, πάθος κοσμοσώτηρον προσζηλοῦσ’ ἰκρίῳ, ἅμα συνεύνω προσηλώθητε.
Στεφάνοις ἀθλητικοῖς, παρὰ Τοῦ πάντων δεσπόζοντος, δυὰς Μαρτύρων σεπτὴ, λαμπρῶς ἐκοσμήθητε, καὶ δόξης τῆς κρείττονος κοινωνοὶ ὠφθέντες, ἡμᾶς φρουρεῖται ἱκετεύομεν.
Θαυμάτῳ σουσταυρικῷ, δοξάσασα Παντοκράτορα, ἐδόξασε θαυμαστῶς, ναὸν σου τοῖς θαύμασιν ἀπείροις ὁ Κύριος, Μαῦρα στεῤῥοτάτη, τῶν Μαρτύρων ἀγαλλίαμα.
Θεοτοκίον.
Ἐξαναστὰς ὁ Χριστὸς, ὡς ἐκ παστάδος τοῦ μνήματος, τριήμερος ἐκ νεκρῶν. τὸ χαῖρε προσείῤῥηκε, τῆς λύπης ἀντίθετον, σεπτοῖς μυροφόροις· τέρπου πιστῶν δὴ τὰ συστήματα.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.
Τοὺς πολυτρόπους αἰκισμοὺς ἐνεγκόντες, καὶ τοὺς

στεφάνους ἐκ Θεοῦ εἰληφότες, ὑπὲρ ἡμῶν πρεσβεύσατε πρὸς Κύριον, μνήμην τὴν πανίερον, τὴν ὑμῶν ἐκτελούντων, μέγιστε Τιμόθεε, καὶ ἀοίδιμε Μαύρα, τοῦ εἰρηνεῦσαι πόλιν καὶ λαόν· αὐτός ἐστι γάρ, πιστῶν τὸ κραταίωμα.

Ἕτερον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Γηθοσύνως σήμερον ἡ Ἐκκλησία, εὐφημεῖ γεραίρουσα τοὺς Ἀθλοφόρους τοῦ Χριστοῦ· Μαῦραν Μαρτύρων τὸ ἔρεισμα, καὶ ἀριστέα, Τιμόθεον ἔνδοξον.

Οἶκος.

Τὴν δυάδα Χριστοῦ ἀνυμνήσωμεν ὦ φιλέορτοι, τὸ θανεῖν γὰρ ὑπὲρ τὸ ζῆν διὰ Χριστὸν ἡρετίσαντο οἱ μακάριοι· τυράννων ἀπειλὰς μὴ πτοηθέντες, πυρὸς ὀδύνην, ἄρσεις τροχῶν, καὶ λεβήτων βράσματα ἀνδρικῶς καθυπέμειναν. Καὶ γενναίως τοῖς βασάνοις προσκαρτεροῦντες, συμφώνως τοῖς ἀνόμοις κατὰ Παῦλον ἔλεγον: Τίς ἡμᾶς χωρίσει τῆς τοῦ Χριστοῦ ἀγάπης;Οὐ θλίψις, οὐ στενοχωρία, οὐκ ὀδύνη, ἀλλ’οὐδ’ αὐτὸς ὁ θάνατος· διὸ σταυροῦσιν ἐπὶ ξύλου Μαῦραν Μαρτύρων τὸ ἔρεισμα, καὶ ἀριστέα Τιμόθεον ἔνδοξον

Συναξάριον.

Τῇ Γ΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τῶν Ἁγίων Μαρτύρων Τιμοθέου καὶ Μαύρας.

Στίχοι.

Ἥπλωσε Χριστὸς χεῖρας ἐν σταυρῷ πάλαι,Ἥπλωσε

καὶ νῦν Μαύρα σὺν Τιμοθέῳ.
Μαρτυρίου ὡς λάμψασ’ ἀκτῖνας Μαῦρα.
Ὅπας Σατᾶν γε ἤμβλυνας ἶφι Μάρτυς
Σταυρῷ Τιμόθεος τριτάτῃ τανύθη ἅμα Μαύρᾳ.

Ὠδὴ ζ΄. Δροσοβόλον μέν.
Οὐκ ᾐσθάνου ταῖς λαμπάσι παναοίδιμε, φλογιζομένη πάντοθεν, πῦρ ἐγκάρδιον, τὴν ἀγάπην, φέρουσα Χριστοῦ, καὶ τούτῳ βοῶσα ἐμμελῶς· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.
Νυσταγμὸν ἀπὸ βλεφάρων ἀπωσάμενος, κακίας ὦ Τιμόθεε, ἐκαρτέρησας, ὀφθαλμῶν πηρώσεις τὸν Χριστόν, καρδίας τοῖς ὄμμασιν ὁρῶν, καὶ μελῳδῶν· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.
Οἱ τὰ κάτω παριδόντες θεῖοι Μάρτυρες, τῶν ἄνω δὲ τὴν οἴκησιν, κληρωσάμενοι, ἱεραῖς τιμάσθωσαν ᾠδαῖς, βοῶντες ἀπαύστως σὺν ἡμῖν· Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.
Θεοτοκίον.
Ὑπερύμνητε Παρθένε ὑπερύμνητον, Θεὸν ἀποκυήσασα, τοὺς ὑμνοῦντάς σε, κοινωνοὺς ἀνάδειξον φωτός, καὶ ῥῦσαι γεέννης καὶ φλογός, καὶ πάσης βλάβης τοῦ ἐχθροῦ ταῖς ἱκεσίαις σου.

Ἕτερος. Παῖδες Ἑβραίων.
Θῦμα εὐῶδες τῷ Κυρίῳ, προσηνέχθητε σφαγῇ ἐθελουσίῳ ξυνωρὶς ἱερὰ, Τιμόθεε, καὶ Μαῦρα, εὐλογητὸς κραυγάζοντες ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Πῦρ ὅπερ ἧκεν Ἰησοῦς μου, εἰς τὴν σύμπασαν βαλεῖν Μάρτυρες θεῖοι, καθαψάμενον σῆς, ψυχῆς ὅλως οὐκ εἴα, στέργειν ἀλλ' ἔφατε, ὁ Χριστὸς πέλει ὁ Πλάστης.
Σκότος παθῶν ἐπιπολάζον, πρὸς τὴν χάρυβδιν, ὠθεῖ με ὁσημέραι, δυσωπῶ οὖν ὑμᾶς ῥυσθῆναι σὸν ἱκέτην Μαῦρα θείαις πρεσβείαις σου, καὶ Τιμόθεε λιταῖς σου.
Ῥώμη ῥωννύμενοι Κυρίου, κατησχύνατε Ἀριανοῦ τὸ θράσος, καὶ σύν τούτῳ στεῤῥῶς, τὴν κάραν τοῦ Βελίαρ, συνθλάσαντες τὰ τρόπαια, ᾔρατε νίκης Ἀθλοφόροι.
Ῥείθεοις αἱμάτων σου τρισμάκαρ, ἐναπέπνιξας τὴν πλάνην τῶν εἰδώλων, καὶ καρδίας πιστῶν ἀρδεύσασα τὸν στάχυν, τῆς πίστεως ἐπαιπανας, ἐν αὐταῖς Μαῦρα στεῤῥόφρων.
Θεοτοκίον.
Ῥάβδος Παρθένε Ἀαρὼν Σε, ἡ βλαστήσασα ἐτύπου ἀραρότως· ὡς δὲ αὕτη καρπὸν, ἐβλάστησε τὸ πάλαι, οὕτω καὶ νῦν ἠξιώθησας, τὸν τῆς φύσεως Δεσπότην.

ᾨδὴ η΄. Ἐκ φλογὸς τοῖς ὁσίοις.
Συντηροῦντες τοὺς νόμους τοῦ παντοκράτορος, ἀνομούντων τῷ κράτει οὐχ ὑπεκύψατε· σέβας πονηροῖς, οὐκ ἐνείματε δαίμοσι, Μάρτυρες γενναῖοι, Κυρίου κληρονόμοι.
Συζυγίᾳ ἀρίστῃ σαφῶς συνδούμενοι, τὸν ζυγὸν τοῦ Κυρίου τὸν ἐλαφρότατον, ἤρατε ὁμοῦ, ἐπαυχένιον Μάρτυρες, καὶ ταῖς τῶν Μαρτύρων, συνήφθητε

ἀγέλαις.
Ἐπὶ ξύλου ταθέντες σταυροῦ πανεύφημοι, ἐπὶ πλείστας ἡμέρας ἐξεικονίσατε, πάθος τὸ σεπτόν, τοῦ παθόντος βουλήματι· ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.
Βιαιότατον ὄντως θάνατον Ἅγιοι, παρατάσει τῶν πόνων καθυπεμείνατε· ἄπονον διό, πρὸς ζωὴν μετετέθητε, ἀνυμνολογοῦντες, Χριστὸν εἰς τοὺς αἰῶνας.
Θεοτοκίον.
Ὡραιώθης Παρθένε ἀποκυήσασα, ὡραιότατον κάλλει Χριστὸν τὸν Κύριον, θείαις τοὺς πιστούς, ἀγλαΐαις φαιδρύνοντα· ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἕτερος. Τὸν ἐν ὄρει.
Θιασῶται, εἰς οἶκον τῶν Μαρτύρων, ἀθροισθέντες ὁμοῦ, ὑμνήσωμεν συμφώνως, Τιμόθεον καὶ Μαῦραν ἀνακράζοντες, ῥύσασθαι γεένης, Μάρτυρες γενναῖοι ἡμᾶς ταῖς σαῖς πρεσβείαις.
Τῶν τυράννων, ἄρδην νενικημένων, τῶν βρασμάτων, λεβήτων ὡς ἐσβεμένων, θεωροῦντα τὰ πλήθη πάντα ἔκραζε:Μέγας εἶ Θεέ μου, ὁ τοῦς Ἀθλοφόρους, ἰσχύων παραδόξως.
Ἰαμάτων, προχέεις θεῖα ῥεῖθρα, τοῖς αἰτοῦσιν ἐν πίστει ὦ Ἀθληφόρς γενναιόφρων Μαῦρα μεγαλώνυμε· ἐφόδους δαιμόνων, βροτῶν ἀπευλάνεις, τῇ θείᾳ σου ἐντεύξει.

Γλώττης ἦχος, οὐ σθένει οἷα θέμις, τοὺς σοὺς ἄθλους, οὕς ἔτλης Ἀθληφόρε, μεγαλομάρτυς ὄντως διηγήσασθαι, ἀτονεῖ δὲ πᾶσα, ἐπάξιον πρὸς ὕμνον, κἄν εὔγλωττος ὑπάρχῃ.
Τρία φῶτα, δοξάζω εἰς αἰῶνας, τὸν Πατέρα, καὶ Υἱὸν, καὶ θεῖον Πνεῦμα, τὴν ἑνιαίαν φύσιν, καὶ θεότητα· τὴν ἐκ τοῦ μὴ ὄντως, ποιήσασαν τὸν Κόσμον, παντοδυνάμῳ λόγῳ.
Θεοτοκίον.
Χαῖρε κόσμου διάσωσμα Παρθένε, χαῖρε νόων, ὄτως χαρὰ, καὶ θυμηδία, χαῖρε παρθένων δόξα, καὶ κραταίωμα, χαῖρε Παναγία, ἐλπὶς καὶ προστασία, ψυχῆς μου τῆς ἀθλίας.

ᾨδὴ θ΄. Θεὸν ἀνθρώποις.
Ἰδεῖν τὴν δόξαν κατηξιώθητε, τοῦ ἑαυτὸν κενώσαντος δι᾿ οἶκτον πανεύφημοι· τοὺς αὐτοῦ γὰρ νόμους ἐφυλάξατε, καὶ κοινωνοὶ τῶν τούτου, παθημάτων γεγόνατε· ὅθεν συνελθόντες εὐσεβῶς ὑμᾶς γεραίρομεν.
Ὁρῶν ἰσάριθμον διηνύσατε, μέτρον σοφοὶ νυκτῶν καὶ ἡμερῶν προσηλούμενοι, τοῦ δι᾿ οἶκτον Σταυρῷ ὁμιλήσαντος· ὃν καθομολογοῦντες, πάντων δεσπόζοντα, τούτου ἐν χερσὶ τὰ ἑαυτῶν πνεύματα ἔθεσθε.
Στρατὸς Ἀγγέλων χορὸς μακάριος, τῶν Προφητῶν Μαρτύρων, Ἀποστόλων Ὁσίων τε, τῇ ἀνόδῳ ὑμῶν ἐπεκρότησε· πάντων δὲ ὁ Δεσπότης, στέφει

κατέστεψε, Μάρτυρες ὑμᾶς νικητικῷ, ὡς ὑπεράγαθος. Ἡμῖν τοῖς πόθῳ ὑμᾶς γεραίρουσι, καὶ τὴν σεπτὴν ὑμῶν ἐπιτελοῦσι πανήγυριν, ἀθλοφόροι Χριστοῦ γενναιότατοι, λύσιν ἁμαρτημάτων, βίου διόρθωσιν, πάντων τε δεινῶν ἀπαλλαγὴν σοφοὶ αἰτήσασθε.

Θεοτοκίον.

Φωτὶ τῷ σῷ με θεοχαρίτωτε, ἐν γυναιξὶ Παρθένε καταλάμπρυνον δέομαι, καὶ πυρὸς αἰωνίου με λύτρωσαι, ὅπως σὲ μεγαλύνω, ὅπως δοξάζω σε, ὅπως κατὰ χρέος ἀνυμνῶ τὰ μεγαλεῖά σου.

Ἕτερος. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Τὸ ὄμμα ἀνατείναντες πρὸς Θεὸν, τῷ Σταυρῷ τὰς παλάμας ἐξήπλωσαν οἱ Ἀθληταὶ, πάθος μιμησάμενοι τὸ σεπτὸν, καὶ ἔκραζον γηθόμενοι, Δέσποτα ἐνίσχυσον νῦν ἡμᾶς, ἐπίῤῥοθος δὲ ὤφθη πάρειμι λέγων μὴ πτοεῖσθε, δεῦρο εἰς εὔκλειαν οὐράνιον.

Τῷ θρόνῳ τῷ ἀστέκτῳ τῆς τριλαμποῦς, Τρισηλίου θεότητος Ἅγιοι περιχαρῶς, νῦν περιπολοῦντες σὺξ νοεραῖς, Ἀγγέλων ταῖς δυνάμεσι, καὶ χοροῖς Ἁγίοις τῶν ἀθλητῶν, μέμνησθε δυσωποῦμεν, ἡμῶν τῶν ἐκτελούντων, μνήμην τὴν θείαν, καὶ πανεόρτον.

Τῇ θείᾳ ἐλλαμφθέντες γνώσει Χριστοῦ, οἱ σεπτοὶ Ἀθληταὶ, προσενήνοχαν αἷμα αὐτῶν, ἄμωμον θυσίαν σοὶ τῷ Θεῷ· Σταυρῷ δὲ θανατούμενοι, εἰς ὕψος ἀνέβησαν οὐρανῶν· τρυφῶντες δὲ σοῦ κάλλους, ἀφράστου αἰωνίως, κόσμον φρουροῦσιν οἱ πανένδοξοι.

Ἐξέστη τοῖς σοῖς λόγοις Ἀριανός, τύραννος οἷς ἔκραζες λέγουσα, ὅτι ἐθνῶν, εἴδωλα δαιμόνια πέλει δη. Ὁ δὲ Χριστὸς ὁ Κύριος, πέφυκεν ἁπάντων δημιουργὸς. Ὅνπερ τιμῶ καὶ σέβω, καὶ δι᾽ Αὐτὸν αἱροῦμαι, ἀποθανεῖν ὦ Μαῦρα ἔνδοξε.

Ὦ θεία τοῦ Δεσπότου, καὶ ἱερὰ ξυνωρὶς δυσωπῶ ὁ οἰκτρώτατος, δέξαι εὐμενῶς, τουτί μοι τὸ δῶρον οἷα Χριστὸς· λεπτὰ προσεπιδέξατο, χήραν ὅν ἱκέτευε ἐκτενῶς· δοῦναι πταισμάτων λύσιν, καὶ δόξης με ἀῤῥήτου μέτοχον δείξαι τὸν ἀνάξιον.

Θεοτοκίον.

Καὶ σκέπη, καὶ βοήθεια, καὶ ἐλπὶς, τῶν πιστῶν Σὺ ὑπάρχεις Μητρόθεε, ἐπεὶ φρικτῶς· ἔφυς οἷα Ἡσαιας χρησμοδοτεὶ, βουλῆς μεγάλης Ἄγγελον, ὅνπερ ἐκλιπάρει τοῦ παρασχεῖν· εἰρήνην Ἐκκλησίᾳ, κᾀμοὶ δὲ σωτηρίαν, ὦ Παναγία κοσμοσώτηρε

Ἐξαποστειλάριον τῆς Ἑορτῆς. Γυναῖκες ἀκουτίσθητε.

Τῶν φιλεόρτων σύλλογος, λαμπρῶς ἀνευφημήσωμεν, τοὺς ἀριστέας Κυρίου, καὶ καθαιρέτας τῆς πλάνης, Τιμόθεον τὸν ἔνδοξον, καὶ Μαῦραν τὴν ἀοίδιμον, συμφώνως ἑορτάζοντες, ὑπὲρ ἡμῶν δ᾽ ἀπαῦστως ἐκλιπαροῦσι τὸ θεῖον.

Ἕτερον.

Ρωσθέντες θείᾳ χάριτι, Μάρτυρες γενναιότατοι, τυράννου πᾶσαν μανίαν, καὶ ἀθειας το θράσος, ὠλέσατε πανσέβαστοι, τελέως θανατούμενοι· διὸ, καὶ νίκης στεφάνους, ἐδέξασθε ἐπαξίως, ἐκ τῆς χειρὸς τοῦ

Κυρίου.
Καὶ τῆς ἑορτῆς.

Αἴνοι. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.
Τῶν φιλεόρτων χορεῖαι δεῦτε ὑμνήσωμεν, τὴν θείαν ξυνωρίδα, ἁγιώγτατον ζεῦγος, τὸ κλέος τῶν Μαρτύρων, καὶ καλλονὴν, Ἐκκλησίας τὸ ἔρεισμα. Μαῦραν τὴν ἔνδοξον ἅμα τῷ ἱερῷ Τιμοθέῳ μακαρίζοντες.
Τῇ παμφαεῖ πανηγύρει τῶν Ἀθλητῶν τοῦ Χριστοῦ, εὐωχηθῶμεν πάντες οἱ φιλέορτοι πίστει· αὐτῶν τὰς ἀριστείας ᾄδοντες νῦν, Τιμοθέου, καὶ Μαῦρας τε· ᾀσματικῶς ἀνυμνοῦντες τὸν Ἰησοῦν, τὸν δοξάσαντα αὐτοὺς θαυμαστῶς.
Ὑφηγητὴν Ἐκκλησία διὰ πνεύματος σοφὸν, οἶδε σὲ ὦ τρισμάκαρ· ὑπὲρ ἧς καὶ ὑπέστης, βασάνους ἀνηκέστους οἷα ποιμὴν, ἀγαθὸς, καὶ ὑπέρκαλος· Μαῦραν συνέριθμον δὲ ἀναλαβῶν, τῷ Χριστῷ νῦν συναγάλλεσθε.
Τὴν ἱερὰν ξυνωρίδα ἀνευφημήσωμεν, Τιμόθεον τὸν Μέγαν, καὶ τὴν ἔνδοξον Μαῦραν, τοῦς πλάνης καθαιρέτας, καὶ Ἀθλητὰς, Ἰησοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ γὰρ ἀπαὺστως τὸ θεῖον ὑπὲρ ἡμῶν, ἱκετεῦουσιν σωθῆναι ἡμᾶς.
Δόξα. Ἦχος πλ. β΄.
Δεῦτε φιλομάρτυρες πάντες μελωδικῶς ἀνυμνήσωμεν σήμερον, τοῦς γενναῖους ὁπλίτας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, Τιμόθεον τὸν ἀήττητον ἀριστέα, ἅμα τῇ Ἀθληφόρῳ Μαύρᾳ μεγαλομάρτυρ· τοῦς τὴς πλάνης

ὀλοθρευτάς τε, καὶ καθαιρέτας, ἡμῶν δὲ προμάχους, καὶ ἀντιλήπτορας· οὕς ἡ Τριὰς, καὶ ζῶντας καὶ μετὰ πότμον μεγάλως ἐδόξασε τοῖς ἀπείροις θαύμασιν. Οἵ καὶ πρεσβεύουσιν ἀδιαλείπτως, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.
Καὶ νῦν. Τῆς ἑορτῆς.

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

Μεγαλυνάριον.
Χαίροις ὦ πανθαύμαστε ξυνωρὶς, πανσέβαστον ζεῦγος, γενναιότατοι Ἀθληταί· Τιμόθεε Μάρτυς, σὺ τῇ σεπτῇ συνάθλῳ Μαύρᾳ τῇ στεῤῥοτάτῃ, ἡμῶν τὸ καύχημα.

